καὶ κῶλα κώλοις, τετράπουν μιμήσομαι
λύκου κέλευθον πολεμίοις δυσεύρετον,
τάφροις πελάζων καὶ νεῶν προβλήμασιν.
ὅταν δ᾽ ἔρημον χῶρον ἐμβαίνω ποδί,
δίβαμος εἶμι· τῇδε σύγκειται δόλος.
ΧΟ. ἀλλ᾽ εὖ σ᾽ ὁ Μαίας παῖς ἐκεῖσε καὶ πάλιν
πέμψειεν Ἑρμῆς, ὅς γε φηλητῶν ἄναξ.
ἔχεις δὲ τοὔργον· εὐτυχεῖν μόνον σε χρή.
ΔΟ. σωθήσομαί τε καὶ κτανὼν Ὀδυσσέως
οἴσω κάρα σοι, σύμβολον δ᾽ ἔχων σαφὲς
φήσεις Δόλωνα ναῦς ἐπ᾽ Ἀργείων μολεῖν,
ἢ παῖδα Τυδέως· οὐδ᾽ ἀναιμάκτῳ χερὶ
ἥξω πρὸς οἴκους πρὶν φάος μολεῖν χθόνα.
ΧΟ. Θυμβραῖε καὶ Δάλιε καὶ Λυκίας str.
ναὸν ἐμβατεύων,
Ἄπολλον, ὦ δία κεφαλά, μόλε τοξήρης, ἰκοῦ ἐννύχιος
καὶ γενοῦ σωτήριος ἀνέρι πομπᾶς
ἁγεμὼν καὶ ξύλλαβε Δαρδανίδαις,
ὦ παγκρατές, ὦ Τροΐας
τείχη παλαιὰ δείμας.
μόλοι δὲ ναυκλήρια, καὶ στρατιᾶς antistr.
Ἑλλάδος διόπτας
ἵκοιτο, καὶ κάμψειε πάλιν θυμέλας οἴκων πατρὸς Ἰλιάδας.
Φθιάδων δ᾽ ἵππων ποτ᾽ ἐπ᾽ ἄντυγι βαίη,
δεσπότου πέρσαντος Ἀχαιὸν Ἄρη,
τὰς πόντιος Αἰακίδᾳ
Πηλεῖ δίδωσι δαίμων.
ἐπεὶ πρό τ᾽ οἴκων πρό τε γᾶς ἔτλα μόνος str.

---

218. *μόνον σε χρή* BC *σε δεῖ μόνον* bc *μόνον σε δεῖ ABC*
229. 230. *καὶ γενοῦ σωτήριος — ἁγεμὼν καί*] G. Dindorfius, *ἁγεμὼν σωτήριος — καὶ γενοῦ καὶ* libri. 235. *πατρὸς Ἰλιάδας* Bc *πάτρας Ἰλιάδος* ceteri. 236. *ποτ᾽* B *τότ᾽* Cbc om. *ABC* *ἄντυγι* BC *ἄντυγα* ceteri. 239. *ἀχαιῶν ABC* 240. *ποντίας* BCb 241. *δόμων* (ων superscr.) B *δόμον* C *δόμων* b *δαιμόνων A δαίμων BC*